37 ἐπάνω, πᾶς ὁ ἐκπορευόμενος ἐν τῇ δυνάμει, [37]ἡ ἐπίσκεψις αὐτῶν
ἐκ τῆς φυλῆς Γαδ πέντε καὶ τεσσαράκοντα χιλιάδες καὶ ἑξακόσιοι
38 καὶ πεντήκοντα. — [38]τοῖς υἱοῖς Δαν κατὰ συγγενείας αὐτῶν κατὰ
δήμους αὐτῶν κατ᾽ οἴκους πατριῶν αὐτῶν κατὰ ἀριθμὸν ὀνομάτων
αὐτῶν κατὰ κεφαλὴν αὐτῶν, πάντα ἀρσενικὰ ἀπὸ εἰκοσαετοῦς καὶ
39 ἐπάνω, πᾶς ὁ ἐκπορευόμενος ἐν τῇ δυνάμει, [39]ἡ ἐπίσκεψις αὐτῶν
ἐκ τῆς φυλῆς Δαν δύο καὶ ἑξήκοντα χιλιάδες καὶ ἑπτακόσιοι. —
40 [40]τοῖς υἱοῖς Ασηρ κατὰ συγγενείας αὐτῶν κατὰ δήμους αὐτῶν
κατ᾽ οἴκους πατριῶν αὐτῶν κατὰ ἀριθμὸν ὀνομάτων αὐτῶν κατὰ
κεφαλὴν αὐτῶν, πάντα ἀρσενικὰ ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, πᾶς
41 ὁ ἐκπορευόμενος ἐν τῇ δυνάμει, [41]ἡ ἐπίσκεψις αὐτῶν ἐκ τῆς φυλῆς
42 Ασηρ μία καὶ τεσσαράκοντα χιλιάδες καὶ πεντακόσιοι. — [42]τοῖς
υἱοῖς Νεφθαλι κατὰ συγγενείας αὐτῶν κατὰ δήμους αὐτῶν κατ᾽
οἴκους πατριῶν αὐτῶν κατὰ ἀριθμὸν ὀνομάτων αὐτῶν κατὰ κε-
φαλὴν αὐτῶν, πάντα ἀρσενικὰ ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, πᾶς
43 ὁ ἐκπορευόμενος ἐν τῇ δυνάμει, [43]ἡ ἐπίσκεψις αὐτῶν ἐκ τῆς φυ-
λῆς Νεφθαλι τρεῖς καὶ πεντήκοντα χιλιάδες καὶ τετρακόσιοι. —
44 [44]αὕτη ἡ ἐπίσκεψις, ἣν ἐπεσκέψαντο Μωυσῆς καὶ Ααρων καὶ οἱ
ἄρχοντες Ισραηλ, δώδεκα ἄνδρες· ἀνὴρ εἷς κατὰ φυλὴν μίαν κατὰ
45 φυλὴν οἴκων πατριᾶς ἦσαν. [45]καὶ ἐγένετο πᾶσα ἡ ἐπίσκεψις υἱῶν
Ισραηλ σὺν δυνάμει αὐτῶν ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, πᾶς ὁ
46 ἐκπορευόμενος παρατάξασθαι ἐν Ισραηλ, [46]ἑξακόσιαι χιλιάδες καὶ
τρισχίλιοι καὶ πεντακόσιοι καὶ πεντήκοντα.

47 [47]Οἱ δὲ Λευῖται ἐκ τῆς φυλῆς πατριᾶς αὐτῶν οὐκ ἐπεσκέπησαν
48 ἐν τοῖς υἱοῖς Ισραηλ. [48]καὶ ἐλάλησεν κύριος πρὸς Μωυσῆν λέγων
49 [49]Ορα τὴν φυλὴν τὴν Λευι οὐ συνεπισκέψῃ καὶ τὸν ἀριθμὸν αὐ-
50 τῶν οὐ λήμψῃ ἐν μέσῳ τῶν υἱῶν Ισραηλ. [50]καὶ σὺ ἐπίστησον
τοὺς Λευίτας ἐπὶ τὴν σκηνὴν τοῦ μαρτυρίου καὶ ἐπὶ πάντα τὰ
σκεύη αὐτῆς καὶ ἐπὶ πάντα, ὅσα ἐστὶν ἐν αὐτῇ· αὐτοὶ ἀροῦσιν
τὴν σκηνὴν καὶ πάντα τὰ σκεύη αὐτῆς, καὶ αὐτοὶ λειτουργήσου-
51 σιν ἐν αὐτῇ καὶ κύκλῳ τῆς σκηνῆς παρεμβαλοῦσιν. [51]καὶ ἐν τῷ
ἐξαίρειν τὴν σκηνὴν καθελοῦσιν αὐτὴν οἱ Λευῖται καὶ ἐν τῷ παρεμ-
βάλλειν τὴν σκηνὴν ἀναστήσουσιν· καὶ ὁ ἀλλογενὴς ὁ προσπο-
52 ρευόμενος ἀποθανέτω. [52]καὶ παρεμβαλοῦσιν οἱ υἱοὶ Ισραηλ ἀνὴρ
ἐν τῇ ἑαυτοῦ τάξει καὶ ἀνὴρ κατὰ τὴν ἑαυτοῦ ἡγεμονίαν σὺν δυνά-
53 μει αὐτῶν· [53]οἱ δὲ Λευῖται παρεμβαλέτωσαν ἐναντίον κυρίου κύκλῳ
τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ οὐκ ἔσται ἁμάρτημα ἐν υἱοῖς Ισραηλ.

44 επεσκεψατο A | ανδρες] αρχοντες Ar | πατριας] + αυτων A || 45 υιων] pr. των A | συν] εν B* || 47 φυλης > A | πατριας] pr. της B*† | ουκ επεσκ.] ου συνεπεσκ. A || 49 την $2^0$ > A | των > B† || 50 και ult. > A† || 51 αναστησ.] + αυτην A || 52 εαυτου bis] ε > A $1^0$, non $2^0$ || 53 εναντιον κυριου] εναντιοι A, εναντιοι κυριου Bc†: cf. 2 2

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/264 UNIVERSITÄT LEIPZIG